Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXVIII. Manifestatio sanctissimi sepulchri.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

## ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

*Φανέρωσις τοῦ ἁγίου τῶν ἁγίων μνήματος.*

Παραχρῆμα δ' ἐπετελεῖτο καὶ τοῦτο. ὡς δ' ἕτερον ἀνθ' ἑτέρου στοιχεῖον ὁ κατὰ βάθους τῆς γῆς ἀνεφάνη χῶρος, αὐτὸ δὴ λοιπὸν τὸ σεμνὸν καὶ πανάγιον τῆς σωτηρίου ἀναστάσεως μαρτύριον παρ' ἐλπίδα πᾶσαν ἀνεφαίνετο. καὶ τό τε ἅγιον τῶν ἁγίων ἄντρον τὴν ὁμοίαν τῆς τοῦ Σωτῆρος ἀναβιώσεως ἀπελάμβανεν εἰκόνα. διὸ μετὰ τὴν ἐν σκότῳ κατάδυσιν, αὖθις ἐπὶ τὸ φῶς προῄει, καὶ τοῖς ἐπὶ θέαν ἀφικνουμένοις ἐναργῆ παρεῖχεν ὁρᾶν τῶν αὐτόθι πεπραγμένων θαυμάτων τὴν ἱστορίαν. ἔργοις ἁπάσης γεγωνοτέρως φωνῆς τὴν τοῦ Σωτῆρος ἀνάστασιν μαρτυρούμενον.

## Caput XXVIII.

*Manifestatio sanctissimi sepulchri.*

Nec mora; istud quoque ut jussum erat impletum est. Postquam aliud solum, locus scilicet qui in imo erat, apparuit; tunc vero ipsum augustum sanctissimumq; Dominicæ resurrectionis monumentum præter omnium spem refulsit; & spelunca illa quæ Sancta Sanctorum vere dici potest, resurrectionis Servatoris nostri quandam expressit similitudinem, cum post situm ac tenebras quibus obtecta fuerat, rursus in lucem prodiit, & miraculorum quæ ibi quondam gesta fuerant, historiam iis qui ad spectandum confluxerant manifestissimè videndam exhibuit; rebus ipsis quæ omni voce clarius sonant, Servatoris nostri resurrectionem testata. B

## ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

*Ὅπως περὶ τῆς οἰκοδομῆς καὶ πρὸς ἄρχοντας καὶ πρὸς Μακάριον ἔγραψε τὸν ἐπίσκοπον.*

Τούτων δ' ὧδε πραχθέντων, αὐτίκα βασιλεὺς νόμων εὐσεβῶν διατάξεσι, χορηγίαις τε ἀφθόνοις, οἶκον εὐκτήριον θεοπρεπῆ ἀμφὶ τὸ σωτήριον ἄντρον ἐγκελεύεται πλουσίᾳ καὶ βασιλικῇ δείμασθαι πολυτελείᾳ. ὡς ἂν ἐκ μακροῦ τοῦτο προτεθειμένος, καὶ τὸ μέλλον ἔσεσθαι κρείττονι προθυμίᾳ τεθεαμένος. τοῖς μὲν δὴ τῶν ἐθνῶν ἐπὶ τῆς ἑῴας ἄρχουσιν, ἀφθόνοις καὶ δαψιλέσι χορηγίαις, ὑπερφυές τε καὶ μέγα καὶ πλούσιον ἀποδεικνύναι τὸ ἔργον. τῷ δὲ τῆς ἐκκλησίας Ἐπισκόπῳ τῷ τηνικαῦτα τῆς ἐν Ἱεροσολύμοις προεστῶτι, τοιάνδε κατέπεμπε γραφήν, δι' ἧς τὸν σωτήριον λόγον τῆς πίστεως ἐναργέσι φωναῖς παρίστη, τοῦτον γράφων τὸν τρόπον.

## Caput XXIX.

*Quomodo de construenda Ecclesia, ad Præsides & ad Macarium Episcopum literas dedit.*

His ad hunc modum gestis, confestim Imperator emissis constitutionibus & liberali sumptu suppeditato, circa salutarem speluncam Deo dignum templum regali magnificentia exstrui jubet. Quippe jam pridem hoc apud se C constituerat, idque quod erat futurum, divina quadam alacritate præviderat. Ac Rectoribus quidem Provinciarum per Orientem præcepit, ut impensis copiosè subministratis, ingens amplumq; & magnificum opus illud efficerent. Ad Episcopum verò qui tunc temporis Hierosolymorum regebat Ecclesiam, ejusmodi literas dedit; quibus salutaris fidei doctrinam apertissimis verbis adstruebat, ita scribens:

## ΚΕΦΑΛΑΙΟΝ Λ'.

*Κωνσταντίνου πρὸς Μακάριον περὶ τῆς τοῦ μαρτυρίου τοῦ Σωτῆρος οἰκοδομῆς.*

Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς, Μακαρίῳ.

Τοσαύτη τοῦ Σωτῆρος ἡμῶν ἐστιν ἡ χάρις, ὡς μηδὲ μίαν λόγων θεραπείαν τοῦ παρόντος θαύματος ἀξίαν εἶναι δοκεῖν. τὸ γὰρ τὸ γνώρισμα τοῦ ἁγιωτάτου ἐκείνου πάθους ὑπὸ τῇ γῇ πάλαι κρυπτόμενον, τοσαύταις ἐτῶν περιόδοις

## Caput XXX.

D *Constantini ad Macarium Epistola de ædificatione Martyrii Servatoris nostri.*

*Victor Constantinus Maximus Augustus, Macario.*

Tanta est Servatoris nostri gratia, ut nulla sermonis copia ad præsentis miraculi narrationẽ sufficere videatur. Nam sacratissime illius passionis monumentum, sub terra jampridem occultatum tot annorum spatio delituisse,